καὶ περιέθετο τὸ διάδημα τῆς Ἀσίας καὶ ἐποίησεν πληγὴν μεγάλην
33 ἐπὶ τῆς γῆς. [33]καὶ ᾠκοδόμησεν Σιμων τὰ ὀχυρώματα τῆς Ιουδαίας
καὶ περιετείχισεν πύργοις ὑψηλοῖς καὶ τείχεσιν μεγάλοις καὶ πύλαις
34 καὶ μοχλοῖς καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώμασιν. [34]καὶ ἐπέλεξεν
Σιμων ἄνδρας καὶ ἀπέστειλεν πρὸς Δημήτριον τὸν βασιλέα τοῦ
ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις Τρύφωνος ἦσαν
35 ἁρπαγαί. [35]καὶ ἀπέστειλεν αὐτῷ Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς
λόγους τούτους καὶ ἀπεκρίθη αὐτῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν
τοιαύτην
36 [36]Βασιλεὺς Δημήτριος Σιμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ
37 πρεσβυτέροις καὶ ἔθνει Ιουδαίων χαίρειν. [37]τὸν στέφανον τὸν χρυ-
σοῦν καὶ τὴν βαΐνην, ἣν ἀπεστείλατε, κεκομίσμεθα καὶ ἕτοιμοί
ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγάλην καὶ γράφειν τοῖς ἐπὶ τῶν
38 χρειῶν τοῦ ἀφιέναι ὑμῖν τὰ ἀφέματα. [38]καὶ ὅσα ἐστήσαμεν πρὸς
ὑμᾶς, ἕστηκεν, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδομήσατε, ὑπαρχέτω ὑμῖν.
39 [39]ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον
ἡμέρας καὶ τὸν στέφανον, ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο
40 ἐν Ιερουσαλημ, μηκέτι τελωνείσθω. [40]καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν
γραφῆναι εἰς τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέσθω ἀνὰ
μέσον ἡμῶν εἰρήνη.
41 [41]Ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν
42 ἀπὸ τοῦ Ισραηλ, [42]καὶ ἤρξατο ὁ λαὸς γράφειν ἐν ταῖς συγγραφαῖς
καὶ συναλλάγμασιν Ἔτους πρώτου ἐπὶ Σιμωνος ἀρχιερέως μεγάλου
καὶ στρατηγοῦ καὶ ἡγουμένου Ιουδαίων.
43 [43]Ἐν ταῖς ἡμέραις ἐκείναις παρενέβαλεν ἐπὶ Γαζαρα καὶ ἐκύκλω-
σεν αὐτὴν παρεμβολαῖς καὶ ἐποίησεν ἑλεόπολιν καὶ προσήγαγεν
44 τῇ πόλει καὶ ἐπάταξεν πύργον ἕνα καὶ κατελάβετο. [44]καὶ ἐξήλλοντο
οἱ ἐν τῇ ἑλεοπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ
45 πόλει. [45]καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν γυναιξὶν καὶ τοῖς τέκνοις
ἐπὶ τὸ τεῖχος διερρηχότες τὰ ἱμάτια αὐτῶν καὶ ἐβόησαν φωνῇ
46 μεγάλῃ ἀξιοῦντες Σιμωνα δεξιὰς αὐτοῖς δοῦναι [46]καὶ εἶπαν Μὴ
ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου.
47 [47]καὶ συνελύθη αὐτοῖς Σιμων καὶ οὐκ ἐπολέμησεν αὐτούς· καὶ
ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισεν τὰς οἰκίας, ἐν αἷς

33 τα οχυρωματα] το -μα A La | ιουδαιας] ιδουμαιας S*†: cf. 4 15 | και πυλαις(S† -λοις)] pr. και πυργοις A || 34 επελεξεν] -ξατο A† | ησαν > S*† | αρπαγαι] ρ > S*†, αρπασαι A† || 37 βαινην] βαιν AVpau. | αφιεναι] αφ(ε)ιναι SA: cf. 15 8 | τα SVLa] > A pl. || 38 ωκοδομησατε] κ pro σ S || 39 δε] + υμιν A† || 42 λαος] + ισραηλ A || 43 γαζαρα Ioseph. ant. XIII 215 Niese] γαζαν mss. | ελεοπολιν S La†] > A pau., ο $1^0$ > rel.: cf. 44 || 44 ελεοπολει SVLa†] πολει A pau., ο $1^0$ > rel.: cf. 43 | μεγα / εν τη πολ.] tr. SV† || 45 γυναιξιν] pr. ταις A | αξιουντες > S*† | δεξιας] δει ιδιας S*† || 47 αυτοις > S*† | εκ] εξω S†